Cω. πόει τοῦτ'· οὐδενὸς χρὴ πράγματος
τὸν εὖ φρονοῦνθ' ὅλως ἀπογνῶναί ποτε.
ἁλωτὰ γίνετ' ἐπιμελείαι καὶ πόνωι
ἅπαντ'. ἐγὼ τούτου παράδειγμα νῦν φέρω·
ἐν ἡμέραι μιᾶι κατείργασμαι γάμον
〈ὃν〉 οὐδ' ἂν εἷς ποτ' ὤιετ' ἀνθρώπων ὅλως.
Γο. προάγετε δὴ θᾶττόν ποθ' ὑμεῖς.
Cω. δεῦτε δή.
μῆτερ, δέχου ταύτας. ὁ Κνήμων δ' οὐδέπω;
(Γο.) ὃς ἱκέτευεν ἐξαγαγεῖν τὴν γραῦν ἔτι,
ἵν' ἧι τελέως μόνος καθ' αὑτόν;
(Cω.) ὦ τρόπου
ἀμάχου.
(Γο.) τοιοῦτος.
〈Cω.〉 ἀλλὰ πολλὰ χαιρέτω.
ἡμεῖς δ' ἴωμεν.
(Γο.) Cώστραθ', ὑπεραισχύνομαι
γυναιξὶν ἐν ταὐτῶι—
(Cω.) τίς ὁ λῆρος; οὐ πρόει;
οἰκεῖα ταῦτ' ἤδη νομίζειν πάντα δεῖ.

Cιμ. ἄπειμι νὴ τὴν Ἄρτεμιν κἀγώ. μόνος
ἐνταῦθα κατακείσει. τάλας σὺ τοῦ τρόπου.
πρὸς τὸν θεόν σε βουλομένων [τούτων ἄγειν
ἀντεῖπας. ἔσται μέγα κακὸν πάλιν [τί σοι,
νὴ τὼ θεώ, 〈καὶ〉 μεῖζον ἢ νῦν εὖ πά[νυ.
Γε. ἐγὼ προσελθὼν ὄψομαι δεῦρ[

αὐλεῖ.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41693384X/94 UNIVERSITÄT LEIPZIG